Ασκώματα, καὶ λίνα, καὶ πίτταν διαπέμπων εἰς Επίδαυρον.
Η χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶ παρέχειν τινὰ πείθει.
Η καταπλᾷ τῶν Εκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων.
Η τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν, εἶτ' ἀποτρώγει,
Κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ Διονύσου.
Τούτοισιν ἀπαυδῶ, καὖθις ἀπαυδῶ, καὖθις μάλ' ἀπαυδῶ
Εξίστασθαι μύσταισι χοροῖς. ὑμεῖς δ' ἀνεγείρετε μολπὴν,
Καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.
Ημ. Χώρει νῦν πᾶς ἀνδρείως
Εἰς τοὺς εὐανθεῖς κόλπους
Λειμώνων, ἐγκρούων,
Καὶ σκώπτων, καὶ παίζων,
Καὶ χλευάζων. ἠρίστηται
Δ' ἐξαρκούντως. ἀλλ' ἔμβα
Χ' ὅπως αἴρης τὴν σώτειραν γενναίως
Τῇ φωνῇ μολπάζων.
Η τὴν χώραν σώζειν φήσ' ἐς τὰς ὥρας,
Κἂν Θωρυκίων μὴ βούληται.
Χο. Αγε νῦν ἑτέραν ὕμνων ἰδέαν τὴν καρποφόρον βασίλειαν
Δήμητρα θεὰν ἐπικοσμοῦντες ζαθέαις μολπαῖς κελαδεῖτε.

A *Collector: clàm missis in Epidaurum loris, pice, linis.*
*Aut, qui argentum dare nauibus hostiũ aliquem impellit amicum:*
*Aut, qui concacat Hecatæa, choris succinens orbiculatis:*
*Aut, Rhetor cùm sit, mercedem deuorat ipse (Poetæ:*
*Et pòst traducitur in scena festis patris Dionysi.*
B *Atque his ego denuncio, & iterũ ac rursum edico, iubeoque*
*Ex hoc abscedere choro. Vos autem contollite cantum,*
*Nostrásque lucubrationes, quæ festo huic sunt cõuenientes.*
SEM. *Tendas nunc sanè vnusquisque,*
*Hos in florentes campos*
C *Pratorum subsultans,*
*Et ridens, & ludens,*
*Et subsannans. Sat nunc pransum est.*
*Tu verò pubes salta:*
*Vt seruatricem Diuam clarè extollas,*
*Decantans applausu:*
*Vrbem quæ se semper tutari dicit:*
*Etsi Thorycion hoc nolit.*
D CH. *Age nunc alio genere hymnorum, Cererẽ, frugum genitricem,*
*Magnam exornate Deam, diuinis carminibus celebrantes.*

Σχόλια. Ασκώματα.] εἰς διφθέρας γὰρ τὰς ἑαυτοῦ διανοίας γράψας ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ. ἄσκωμα δὲ δερμάτιόν τι, ᾧ ἐν ταῖς τριήρεσι χρῶνται, καθ' ὃ ἡ κώπη βάλλεται. Επίδαυρον] πόλιν Λακωνικήν. Η χρήματα.] Κῦρος γὰρ Λυσάνδρῳ ἔπεμψε χρήματα τότε εἰς πόλεμον δανείου χάριν. Η καταπλᾷ.] ἤγουν ἀσεβῶς διάκειται περὶ τὰ τῆς Εκάτης ἀγάλματα, ὅτε πανηγυρίζει. Κινησίας δὲ τοῦτο πεποίηκε.

Bisetvs. Καταπλᾷ] Σ. κατετίλησε γὰρ τῶν Εκάτης μυστηρίων. τοῦτο δὲ εἰς Κινησίαν τὸν διθυραμβοποιὸν ἀποσκώπτει. οὗτος γὰρ ᾄδων κατετίλησε τῆς Εκάτης. ἢ ὅτι εἰσήνεγκε δρᾶμα, καὶ κατετίλησεν αὐτήν.

Σχόλια. Η τοὺς μισθούς.] οὓς ἔλαβε παρὰ τῆς βουλῆς αὐτοῖς παρέχειν. λέγει δὲ διὰ τὸν Αρχῖνον. Τούτοισιν ἀπαυδῶ.] παρὰ τὴν ἱεροφάντου καὶ δᾳδούχου πρόρρησιν, τὴν ἐν τῇ ποικίλῃ στοᾷ. Χώρει νῦν.] εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ διαιρεθέντος τοῦ χοροῦ ἐκ κώλων ἀναπαιστικῶν ι. ὧν τὰ μὲν ἄκρα καὶ τὸ δ. καὶ ε. δίμετρα ἀκατάληκτα. τὸ δὲ β καὶ ς ἑφθημιμερῆ. τὸ γ καὶ τὸ η δίμετρα βραχυκατάληκτα. τὰ δὲ λοιπὰ τρίμετρα καταληκτικὰ εἰς συλλαβήν. ἑξῆς δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὡς ἐξ ἑτέρας στροφῆς. ἐπὶ τῷ τέλει παράγραφος. ἐντεῦθεν δὲ Αρίσταρχος ὑπενόησε μὴ ὅλα τοῦ χοροῦ εἶναι τὰ πρῶτα. τοῦτο δὲ, οὐκ ἀξιόπιστον. πολλάκις γὰρ ἀλλήλοις οὕτω παρακελεύονται οἱ παρὰ τὸν χορόν. Εγκρούων.] βαίνων εὐρύθμως ἢ ἀντὶ τοῦ ἐκβάλλων. Ηρίστηται.] ἄριστον γεγένηται τὸ τῆς τελετῆς. ἔμβα δὲ ἀντὶ τοῦ χόρευε. Αἴρεις τὴν σώτειραν.] ὑψώσεις τοῖς ἐπαίνοις. ἔστι γὰρ Αθήνησι σώτειρα λεγομένη, ᾗ καὶ θύουσιν.

E

F

---

Bisetvs. Εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ι. μεθ' ἃ ὡς ἐκ στροφῆς ἑτέρας κῶλα δ.

Ημ. Δήμητερ ἁγνῶν ὀργίων
Ανασσα συμπαραστάτει
Καὶ σῶζε τὸν σαυτῆς χορόν.
Καί μ' ἀσφαλῶς πανήμερον
Παῖσαί τε καὶ χορεῦσαι.
Καὶ πολλὰ μὲν γελοῖά μ' εἰπεῖν, πολλὰ δὲ σπουδαῖα καὶ
Τῆς σῆς ἑορτῆς ἀξίως
Παίσαντα καὶ σκώψαντα, νικήσαντα ταινιοῦσθαι.

SEM. *CEres pudica, quæ orgia*
*Regis, huc ades nobis Dea:*
*Chorúmque conserua tuum:*
*Tutóque perdium sine*
*Saltaréque & iocari:*
*Et multa risu dicere*
G *Condigna: multa seria,*
*Tuóque festo congrua,*
*Ludentem & irridentem alios,*
*Victrice fronde cingi.*

Σχ. Δήμητερ.] εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ἰαμβικῶν δέκα. ὧν τὸ πέμπτον καὶ τὸ δέκατον ἑφθημιμερῆ.